# ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ

## ΚΥΡΙΟΥ ΘΕΟΦΙΛΟΥ ΚΟΡΥΔΑΛΛΕΩΣ,

Τοῦ διὰ τοῦ θείου καὶ μοναχικοῦ σχήματος

Θεοδοσίου μετονομασθέντος

## ΕΚΘΕΣΙΣ ΠΕΡΙ ΕΠΙΣΤΟΛΙΚΩΝ ΤΥΠΩΝ.

ἐν ᾗ

## ΠΡΟΣΕΤΕΘΗΣΑΝ

## ΚΑΙ ΑΦΘΟΝΙΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ,

καὶ ἑτέρα

## ΕΚΘΕΣΙΣ ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ

ΤΟΥ ΑΥΤΟΥ ΚΥΡΙΟΥ ΘΕΟΦΙΛΟΥ

ἐκδοθεῖσα σπουδῇ καὶ ἐπιμελείᾳ

ΑΜΒΡΟΣΙΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΤΟΥ ΠΑΜΠΕΡΕΩΣ.

ἐν Ἄλλῃ τῆς Σαξονίας.

ἐν τῇ τυπογραφίᾳ τοῦ Βάερ. αψξη'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΤΟΙΣ ΦΙΛΟΛΟΓΟΙΣ ΤΩΝ ΕΛΛΗΝΩΝ.

Οὐδὲ τοῦτο πάνυτι παροπτέον ὅτῳ περίτι ὑπόμνημα τῶν παντοίοις πλεονεκτήμασιν ὑπερεχόντων σπουδῇ τοῦ κοινοῦ μέλει, λυσιτελὲς ἐς τὰ μάλιστα, καὶ τελεσιουργὸν ἡστινοσοῦν ἰδέας ἔχεται λόγου. Ἀλλ᾽ εἴτις καὶ ἔξωθεν ἐπιγιγνομένη ἀμουσία κομιδῇ ἀνέραστον ἐς δεῦρο διήλεγξε τὸ οὕτως ἐπίφθονον σύνταγμα, ἐπανορθοῦν πειρατέον, καὶ μὴ τηλικαύτην ἀρετὴν ἡττᾶσθαι ἐᾶν κακίας. Οὐκοῦν τις μ᾽ αἰτιάσαιτο ἔργον ἀναδεξάμενον αἱρετώτατον μέν, καὶ πολλοῦ, μᾶλλον δὲ παντὸς ἐπαίνου ἁπτόμενον, ὀξυτέρου δὲ δεόμενον ὄμματος. Τῆς γὰρ πρὸ ταύτης ἐκδόσεως διά τε τὴν ἀπειρίαν τοῦ τυπογράφου, καὶ δι᾽ ἣν αἰτίαν ἄλλην οὐκ οἶδα, παρὰ τὸ προσῆκον τοῦ ἀκριβοῦς ἀτυχησάσης, οὐδεὶς ὑγιές τι, ἢ ἄρτιον συμβαλεῖν εἶχε· μάλιστα ἐν τοῖς λοιποῖς δυσὶ μέρεσιν, ἅττα ὅσῳ



Ε.Γ. Δ της ΚΕΠ ΙΩΑΝΝΙΝΑ 2006

προσφυῶς προσαρμοσθέντα διὰ τὴν ἀλλη- λουχίαν πληρέστατον τὸ σύστημα ἀπέφηναν, τοσούτῳ ἄχρηστον καὶ ἀνόνητον ἀνηκέστῳ διαφθορᾷ ἐπιπροσθούμενα. οὐ γὰρ μόνον ὅσα τοὺς γραμματικευομένους ἐν ἀπορίᾳ διατίθησιν, ἀλλ᾽ ἴσθι τις ἂν καὶ τάξιν παρηλλαγμένην, καὶ κανόνας διημαρτημένους, καὶ ὁλοσχερῶν περιόδων ἔλλειψιν. Ἐπεὶ δ᾽ οἱ πλεῖστοι εἰ καὶ μὴ τῶν περιεχομένων ἁπάντων, ἀλλὰ γοῦν τῶν πλειόνων, ὥσπερ καὶ τῶν ὀρθῶν ἐδόκει ἀναμφισβητήτως ἀπόνασθαι καὶ μάλα ἡγούμενοι συνεχῶς αὐτὸ ἀνελίττοντες οὐκ ἔλειπον, μηδέν τε τὸ παράπαν ὤνησεν διότι ὄντες διὰ τὸ δυσαναγνωστον ὃ καὶ μηδὲν τῶν μηδέπω ἐκδότων διενηνοχεν ἐποίει, οὐδ᾽ οὕτως ἀπείχοντο, ἀλλ᾽ ὡς γέπως ἐδόξε μοι εὐθέσθαι, ἢ ἐξ ἀρχῆς συνετέθη ἀνατυπῶσαι. Καὶ δὴ τῆς καθ᾽ ὑπερβολὴν ὑμῶν περὶ ταύτην τὴν οὐμετρίως ξυμβαλλοῦσαν τελειότητα σχολίας πλέον καὶ τὸ πρόθυμον ἀνακινησάσης, δίχα τινὸς ἀναβολῆς, οὐ πόνους διευλαβηθείς, οὐ δαπάνης φεισάμενος, οὐδ᾽ ἀπ-

λῶ-

λωτῷ τῶν δυσχερῶν ἐνδεοῦς, ἀλλὰ τοῖς παροῦσιν ἀποχρώντως ἐγκαρτερήσας, τῶν δὲ προσπιπτόντων ὡς μηδὲ ὄντων ὀλιγωρήσας, ἐς φῶς τέως προήγαγον. Ὅσης μὲν διαφθορᾶς ἀπηλλαγμένον, ὅσων δ' ἀνάπλεων ἀστειοτήτων, καὶ συνελόντι φάναι ἡλίκην τὴν ἐπὶ τὸ κρεῖττον φέρον ἔχει μεταβολὴν, καὶ τῷ ἀρχετύπῳ ἐπ' ἀκριβὲς σώζει τὸ γνήσιον, αὐτὸ τοῦτο αὐτίκα σαφῶς δηλώσει φανὲν, οὐδὲ κήσεται μηδὲν ἀβασανίστως προσιεμένους. Φιλοφρόνως τοίνυν φιλόμουσοι τὸ τῶν μουσῶν καὶ Χαρίτων ἀγώγιμον νῦν μᾶλλον ἢ ἄλλοτε ἀποδέξασθε, τῇ προθυμίᾳ καὶ τὸ χρήσιμον ἔχον ἀνάλογον. Ἐμοὶ δὲ τοῦ κοινοῦ ξυμφέροντος πλεῖστον λόγον ποιουμένῳ, καὶ τὴν ὑμετέραν εὐδαιμονίαν πρὸ παντὸς τιθεμένῳ, ἐν τῷδε τῷ μετὰ σώματος βίῳ τῇ ὑγιείᾳ σπείσασθαι εὔχεσθε, ἐν δὲ τῷ μέλλοντι εὐμενοῦς τυχεῖν τοῦ κρείττονος. Ἔρρωσθε.

Ὁ ἐν Ἱερομονάχοις Ἀμβρόσιος ὁ Πάμπερις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΙΩΑΝΝΙΝΩΝ — ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ —
ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤ

Νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα.
Ζήνων παρὰ Διογένει Λαερτίῳ.
βιβλ. ζ'. εἰς τὸν βίον.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἘΚ-

# ἜΚΘΕΣΙΣ
## περὶ ἐπιστολικῶν Τύπων.

### ΠΡΟΟΙ'ΜΙΟΝ.

Τῆς Ἐπιστολῆς ἡδὺ μὲν τὸ δημοτικὸν, ἐπίχαρι δὲ τὸ κομψὸν ἐν ἁπλότητι· καίτοι τὸ χρεῶδες ἀνάγκης ἀγχίθυρον. τὸ δὲ τῆς ὑπεργίας, σοφιζομένῳ μὲν, οὐδὲν οὕτω Θεῶν ἐν ἀνθρώποις δῶρον. βασανίζοντι δὲ ποικιλίας ἐκτὸς τἀληθὲς, κρεῖττον, ἢ ὅσα πτερὸν ὄρνισι. Φοιτῶσι γὰρ ἑκασταχόσε διὰ τῶν ἐπιστολῶν, καὶ ἠρεμοῦντες οἱ ἄνθρωποι. καὶ πράττειν αὐτοῖς ἔνι διὰ τούτων, καὶ διαλέγεσθαι, οἷα πτερὸν ὑπηρετεῖν οὐκ ἐνδέχεται ὄρνιθι. Ἀλλάπως ὁ περὶ τούτων λόγος τὰ νῦν κατημελῆσθαι δοκεῖ, ὑπὸ τοῦ διεφθάρθαι τῷ χρόνῳ τὰ τῶν ἀρχαιοτέρων περὶ τούτων συγγράμματα. ὅσα δὲ καὶ σώζεται μέχρι τοῦ νῦν, παρ᾽ ἐκείνοις κομιδῇ ἐν παρόδῳ εἰρῆσθαι δοκεῖ. καὶ τὸ λίαν ἐπίτομον, ἀσύμφορα τοῖς νεωτέροις καθίστησιν. Ἐγὼ γοῦν πλείονα μὲν ἐκείνων, ἴσως δ᾽ οὐδ᾽ ἀσύμφορα ἐκθέσθαι πειράσομαι. Παντοδαπῶν μέντοι ὄντων, καὶ συμμίκτων τῶν ἐπιστολικῶν τύπων, οὐ περὶ πάντων ἡμῖν ἁπλῶς ἡ διάληψις ἔσται. τοῦτο γὰρ καὶ χρόνου δεόμενον μακροτέρου, καὶ ἀνιαρὸν μᾶλλον τῷ μήκει, ἢ συνοῖσον ὑμῖν εὖ οἶδα. ἀλλὰ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

τοὺς χρειωδεστέρους, καὶ συνεκτικωτέρους, ὥσπερ κανόνας τινὰς ἐκθησόμεθα. καὶ τούτων ἕκαστον, ἐφ' ἕν τι τῶν περὶ τὴν Ῥητορικὴν γενῶν ἀνοίσομεν.

Τὴν ἐπιστολὴν (ἥτις καὶ γράμμα καὶ γράμματα λέγεται. ὑποκοριζομένως δὲ, καὶ γραμμάτιον καὶ γραμματίδιον, ἔστι τε ὅπου τῶν ἐπῶν, καὶ πίνακα πτυκτὸν Ὅμηρος εἴρηκεν) ἀπὸ τοῦ ἐπιστέλλω παρῆχθαι πρόδηλον. οὐδὲν γὰρ οὕτως αὐτῇ ἴδιον, ὡς τὸ ἐπιστέλλεσθαι, καὶ μηνύειν τὰ τῆς ψυχῆς τοῦ ἐπιστέλλοντος πάθη τε καὶ βουλήματα· διὸ καὶ εἰκόνα ψυχῆς τινὲς τῶν πρὸ ἡμῶν ταύτην προσαγορεῦσαι οὐκ ὤκνησαν. Ἔστι δ' ὡς ἐν γένει εἰπεῖν ἡ ἐπιστολὴ, ἀπόντος πρὸς ἀπόντα διάλεξις. εἰ γὰρ καὶ πρὸς παρόντας ἔστιν ὅτε γράμματι διαλεγόμεθα, ὡς πρὸς ἀπόντας μέν τοι τοῦτο ἡμῖν τεχνιτεύεται. Ταύτης ἡ θεωρία πολυποίκιλός τις ἐστὶν, οἷά τε δὴ πᾶσιν ὡς εἰπεῖν ἀνθρωπίνοις ἐφαρμοττούσης πράγμασι. Διέλοι δ' ἔμπης αὐτὴν σαφηνείας θηρευτὴς Ξυγγραφεὺς, εἰς δύο τὸ πρῶτον. τὸ μὲν γὰρ αὐτῆς ἐστὶν οἷον ὕλη, τὸ δὲ οἷον εἶδος καὶ μορφή. Τοῦτο δ' αὖ τὸ ὡς εἶδος μέρος δίχα τεμὼν, οὐκ ἂν ἁμάρτοις. θάτερον γὰρ ἐστὶν, οἷον οὐσιῶδες, καὶ συστατικὸν τῆς ἐπιστολῆς. τὸ δ' οἷον παρεπόμενόν τε καὶ περὶ ἐκεῖνο. Τὸ μὲν οὖν οὐσιῶδες μέρος τοῖς αὐτοῖς φιλοτεχνεῖται τάξει τε καὶ μορίοις, οἷς καὶ ὁ κατὰ Ῥήτορας λόγος, πλὴν ὅτι τὴν κατ' ἐκείνους ἀκρίβειαν παραιτεῖται.

Προοιμιάσασθαι γὰρ ἔστι καὶ ἐν ἐπιστολῇ, καὶ διηγήσασθαι μετὰ τὸ προοίμιον, ἢ προθέσθαι τὸ περὶ οὗ ὁ λόγος. καὶ τούτοις τὰς ἀποδείξεις ἐπαγαγεῖν, κατασκευάζοντας τὸ οἰκεῖον, ἢ τὰ τῶν ἐναντίων ἀνασκευάζοντας. οἷς ἅπασιν, ἡνίκα δέον, καὶ αὔξησιν ἐπι-

ἐπιθέσεις, παραδείγμασιν, ἱστορίας χάριτι, παροιμ-
ιῶν εὐτραπελίᾳ, μύθων ψυχαγωγίᾳ, φιλοσοφίας
γνώμαις, καὶ σοφῶν ἀνδρῶν ἀποφθέγμασιν, ἅπερ
ἅμα καὶ κάλλος οὐ τὸ τυχὸν τῷ λόγῳ χαρίζεται.
Κατὰ δὲ τῆς Ἑρμηνείας τὴν τῶν ἐπιστολῶν ἰδέαν (ὡς
δοκεῖ Φιλοστράτῳ) ἀττικωτέραν μὲν συνηθείας φαί-
νεσθαι προσήκει, συνηθεστέραν δὲ ἀττικίσεως. τὸ
γὰρ ὑπεραττικίζειν, καὶ πέρα μέτρου φιλοτεχνεῖν τὸ
αἱμύλον, ἐν ἐπιστολῇ σκληρὸν, καὶ μειρακιῶδες, τὸ δὲ
ἀκόρητον, καὶ ἐς τὸ παντελὲς ἀκαλλώπιστον, ἄχαρι καὶ
ἡδονῆς ἐκτός. Δεῖ τοίνυν ἀμφοτέρων φεύγοντας τὴν
ἀμετρίαν, τοῦ μέσου κατατυγχάνειν, καὶ ᾗ φησιν ὁ
Θεολόγος, σχηματίζοντας μὲν, ἀλλ' οὐκ ἀπερυθρια-
στῶς. ἐπιρρυθμίζοντας δὲ καὶ κοσμοῦντας, τῷ ἀκοσ-
μήτῳ δοκοῦντι, καὶ ὅτι ἐγγυτάτω τοῦ κατὰ φύσιν.
Σαφήνεια δὲ ἤδ' ὡς ὁ Φιλόστρατος, ἀγαθὴ μὲν ἡγε-
μὼν παντὸς λόγου, μάλιστα δ' ἐπιστολῆς. ἡ γὰρ ἀσά-
φεια οὐχ ὅπως ἀνιᾷ τὸν ἀκροώμενον, ἀλλὰ δὴ καὶ
τὸν γράφοντα ἐκπίπτειν παρασκευάζει τοῦ πρέ-
ποντος ἐπιστολῇ χαρακτῆρος. σαφῶς δ' ἑρμηνεύσο-
μεν, καὶ ἔξω εὐτελείας, ἂν τῶν νοηθέντων, τὰ μὲν
κοινὰ καινῶς, τὰ δὲ καινὰ κοινῶς φράζωμεν. τῇ δὲ
σαφηνείᾳ τοὐπίτομον συμπεπλέχθω, καὶ συνεζεύχθω
καὶ συναμφότερα μέσως. ὡς μήτε διὰ τὴν σαφήνειαν
ἀφίεσθαί τε καὶ διαλύεσθαι, μήτε διὰ τὴν συντομίαν
περισφίγγεσθαι, καὶ ἐς τὸ γριφῶδες μεταπίπτειν.
Ὅλως δὲ μήκους ἐπιστολῆς μέτρον ἔστω ἡ χρεία. οὔτε
γὰρ μακρολογητέον, ἔνθα τὰ πράγματα μὴ πολλά,
οὔτε μηκύνειν δέον, ἔνθα πολλὰ, ἀλλὰ μετὰ κόσμου.
τὸ μὲν οὖν ὅλον εἰπεῖν. τοιούτῳ δὴ χαίρει ἡ ἐπιστολὴ
χαρακτῆρι, ἐξ ἰσχνοῦ τε καὶ γλαφυροῦ συγκεκραμ-
μένῳ. Πάντα δὲ ταῦτα ὡς ἄριστα διαθείης, εἰ συνε-

ρᾶν ἱκανῶς ἔχῃς, ὅστις ποτ' εἴη ὁ ἐπιστέλλων, ϗ πρὸς τίνα, ϗ τίνες ἀμφοτέρωθεν τῶν ψυχῶν αἱ διαθέσεις, ϗ τὰ ἤθη, ὁ ποῖον δὲ τὸ ἀξιωματικὸν τὸ πρὸς ἀλλήλους, ἢ ὕψος, ἢ ὕφεσις. τούτοις γὰρ καταλλήλως, ϗ γνώμη, ϗ σχηματισμὸς, ϗ ἑρμηνεία, ϗ σαφήνεια, ϗ μῆκος ἐπιστολῆς, ὅσον ἐγχωρεῖ παρὰ τὴν ὕλην συναπαρτίζονται. διὸ ϗ πρὸς τὸ μεγαλοπρεπέστερον, ϗ δεινότερον ἡνίκα δέον ἀποκλίνειν, τὸν ἐπιστολικὸν χαρακτῆρα οὐκ ἀπηγόρευται.

Συμβάλλεται δὲ τὸ τὰς σχέσεις εἰδέναι ϗ διαθέσεις τοῦ τ' ἐπιστέλλοντος, ϗ πρὸς ὃν ἡ ἐπιστολὴ οὐ μετρίως, ϗ πρὸς τὰς ἀξιοχρέους τῶν ἀνδρῶν προσαγορεύσεις, εἴτις ποικίλλειν βούλεται, ὅπερ ἤδη τοῦ ἑτέρου μέρους ἐστὶν, ὃ περὶ τὴν ἐπιστολὴν ἔφημεν, ϗ οὐκ οὐσιῶδες, εἰς ὃ ἀναφέρεται, ὅσα τε προλέγεται τῆς ἐπιστολῆς ϗ ἐπιλέγεται. Οἱ μὲν οὖν πάλαι γράφειν ἀρχόμενοι, χαίρειν τοὺς φίλους ἐκέλευον. καίτοι τοῦτο ἄλλως ἐφθινοῦ ὂν τοῖς Ἕλλησι πρόσρημα. Ἐν ἐπιστολῆς δ' ἀρχῇ πρῶτος κεχρῆσθαι λέγεται ὁ Ἀθηναίων Δημαγωγὸς, ϗ μετ' ἐκεῖνον πολλοί. προτάττοντες τούτου μετὰ τὸ τοῦ γράφοντος ὄνομα, ϗ τοῦ πρὸς ὃν τὰ γράμματα ἐπέμπετο τοὔνομα, ϗ τὴν ἰδιάζουσαν προσηγορίαν ἐνίοτε. ὡς Ἰσοκράτης Φιλίππῳ Μακεδόνων Βασιλεῖ χαίρειν, ϗ Δημοσθένης τῇ Βουλῇ, ϗ τῷ Δήμῳ χαίρειν. Πλάτων δὲ, τὸ μὲν χαίρειν ἀποδοκιμάζων, ἀντ' αὐτοῦ τὸ εὖ πράττειν εἰσῆγε. ϗ μετὰ Πλάτωνα συχνοί. ὡς Πλάτων Δίωνι εὖ πράττειν. ϗ Ἀριστοτέλης Ἀλεξάνδρῳ εὖ πράττειν. Πολλοὶ δὲ πρὸ τούτων, οἱ περὶ Πυθαγόραν ἀλλήλοις ἐπιστέλλοντες, τὸ ὑγιαίνειν προὔγραφον, τοῦτο κοινὸν κἀκεῖνοι ἡγούμενοι, ψυχῆς τε ϗ σώματος εὖ διακειμένων σύμβολον, ὡς τὸ εὖ πράττειν ὁ Πλάτων.

Εἰσι

Εἰσὶ δὲ οἳ καὶ τὸ εὖ διάγειν προτάττουσιν, Ἐπικούρῳ προσνέμοντες εἰσηγητῇ. οὐ πάνυ μέντοι ἐγκρίνεται. Τούτων οὖν ἔξεστι τῷ δοκοῦντι χρήσασθαι ἐν ταῖς τῶν γραμμάτων ἀρχαῖς, τὴν χυδαίων τῶν καθ' ἡμᾶς βωμολοχίαν ἀποποιουμένοις, εἰ μή που διὰ συνήθειαν ἀπαρέσκειν τοῖς πολλοῖς διευλαβούμεθα. ἐπὶ τέλους δὲ, πάντες ἔῤῥωσθε ἔγραφον. πολλοὶ δὲ καὶ εὐτυχεῖτε ἔλεγον, καὶ εὐτύχει. ὡς Δημοσθένης ἐν ταῖς ἐπιστολαῖς, καὶ Πλάτων. εἰσὶν οἳ καὶ τὸ χαίρειν ἐπὶ τέλους ἐχρῶντο.

Ὕλην δὲ παντοίαν ἔχουσα ἡ ἐπιστολὴ, καὶ οὐδενὶ λόγῳ περιληπτὴν, οὐδ' ἁπλῆς εἰκότως καὶ εὐκρινοῦς τετύχηκε τῆς κατ' ἐκείνην διαιρέσεως, ὅτι μὴ τῆς ἀπὸ τοῦ τέλους. καθ' ὅ, διαιρουμένοις τρεῖς ἡμῖν ἀναφαίνονται τῶν ἐπιστολικῶν τύπων κοινότητες, τοῖς τρισὶ τῶν κατὰ Ῥήτορας λόγων ἰσάριθμοι γένεσιν. Ὅσαι γὰρ σκοπὸν πεποίηνται τὸ καλὸν, ἐπαινοῦσαι μὲν ὁ[illegible]ιωται τούτῳ, καὶ ψέγουσαι ὅσα ἀλλότρια τοῦ Ἐπιδεικτικοῦ γένους εἰσί. ταύτης εἰσὶ τῆς φατρίας τύποι. ὁ Ἐγκωμιαστικός, ὁ Ἐπαινετικὸς, ὁ Ἐρωτικὸς, ὁ Εὐκτικός, ὁ Συγχαρητικὸς, ὁ Ψεκτικὸς, ὁ Τωθαστικὸς, ὁ Εἰρωνικός, καὶ ἄλλοι. Ὅσοι δὲ τοῦ δικαίου στοχαζόμενοι ὑπεραπολογοῦνται μὲν τῶν ἐξημμένων τούτου, φέρονται δὲ κατὰ τῶν ἀντικειμένων, οὐκ ἀπεικότως εἰς τὸ Δικανικὸν ἀναγάγοις. τοιοῦτοι δὲ εἰσὶ, ὁ Κατηγορικὸς, ὁ Ὀνειδιστικὸς, ὁ Ἀπειλητικὸς, ὁ Μεμπτικὸς, ὁ Ἐνστατικός, ὁ Ἀπολογητικὸς, ὁ Προφασιστικὸς, καὶ ἄλλοι. Τῷ Συμβουλευτικῷ δὲ προσάψεις γένει, τὸν ἑαυτῷ τοῦ[illegible] Συμβουλευτικὸν, τὸν Προτρεπτικὸν, τὸν Παραμυθητικὸν, τὸν Ἀποτρεπτικὸν, τὸν Αἰτητικὸν, τὸν Συστατικὸν, καὶ ἄλλους, ὁ δ' Ἀφηγηματικὸς, καὶ Ἐξαγγελτικὸς, διαφόρῳ λόγῳ, καὶ τοῖς τρισὶν ἐγκαταλέγεται γένεσιν.



ΙΩΑΝΝΙΝΑ 2006

ειμὲν γὰρ εἰς γνῶσιν ἀφορᾷ, καὶ συμβουλὴν, τοῦ Συμβουλευτικοῦ ἐστὶν ἴδιος. τῶν γὰρ παρεληλυθότων ἡ γνῶσις ἐπὶ τὴν τῶν μελλόντων ποδηγετεῖ πρόνοιαν· εἰδὲ διὰ μαρτυρίαν γίνεται, (ἔστι γὰρ ὅτε καὶ μαρτυρίαι γραφόμεναι πέμπονται) τῷ Δικανικῷ ἐστὶν οἰκεῖος. ἡνίκα δὲ μοχθηρίαν τινὸς, ἢ ἀρετὴν διεξέρχεται, τοῦτ' αὐτὸ τέλος ποιούμενος, εἰς τὸ Ἐπιδεικτικὸν ἀνήκει.

## Τοῦ ἐπιδεικτικοῦ γένους τύπος πρῶτος, περὶ Ἐγκωμιαστικοῦ.

Ἐγκώμιον μὲν οὖν ἐστὶν, (ἥ φησιν Ἀριστοτέλης) προαιρέσεων, καὶ πράξεων ἐνδόξων, καὶ λόγων αὔξησις, καὶ μὴ προσόντων ἐνοικείωσις. Ἐγκωμιάζονται μέντοι πολλάκις καὶ ζῶα, καὶ πόλεις, καὶ φυτὰ, καὶ λειμῶνες, καὶ ποταμοὶ, καὶ αἱ τοῦ ἔτους ὧραι. ἀνθρώπῳ δὲ, διαφερόντως τῶν ἄλλων, κόσμος οἰκεῖος ἐστὶ τὸ ἐγκώμιον. Ὕλη δὲ οἰκειοτάτη ἐγκωμίου ἀνθρώπου, σοφία, φρόνησις, σωφροσύνη, ἀνδρεία, δικαιοσύνη, καὶ αἱ λοιπαὶ τῶν ἀρετῶν, αἱ διὰ τῶν ἰδίων ἐνεργειῶν δηλοῦνται καὶ θαυμάζονται. λαμβάνεται δὲ οὐκ ἀπὸ τούτων μόνον, ἀλλὰ καὶ τῶν τοῦ σώματος. οἷον, κάλλους, ῥώμης, εὐεξίας, ὑγιείας, καὶ ἀπὸ τῶν ἐκτός. οἷον, πατρίδος, γένους, ἀνατροφῆς, περιουσίας χρημάτων, κτημάτων ἀφθονίας, ἀξιωμάτων, φίλων, καὶ τῶν ὁμοίων, οἷς ἅπασι χρώμεθα εἰς ἀπόδειξιν ἀναφέροντες τῶν τῆς ψυχῆς ἀγαθῶν, καὶ τῶν κατὰ προαίρεσιν. Σκεπτέον δὲ πρῶτον φροιμιαζομένοις, ὅπως τὸ τοῖς τοιούτοις παρομαρτοῦν τῆς κολακείας ὕποπτον ἀποκρουσώμεθα. ἕξομεν δὲ τοῦτο, εἰ δείξωμεν ἀπὸ τοῦ προσήκοντος καὶ τῆς ἀλη-

θείας

θείας εἰς τὸ γράφειν ἐνάγεσθαι. μηδ' ἀπατᾶσθαι λέγοντες τῷ φίλτρῳ, ἀλλ' ὀφειλομένην ἀπονέμειν τοῖς τοιούτοις τὴν εὐφημίαν, ἅτε δὴ τὰ ἐκείνων οἷα ...όντα καὶ τοὺς λίαν δυσαρέστους εἰς ἐγκωμίων ὑπόθεσιν διεγεῖραι. καὶ τοῖς πολλοῖς, ἢ τοῖς σοφωτέροις ταῦτα δοκεῖν περὶ τῶν κατορθωμάτων ἐκείνων λέγοντες. πλὴν εἰ μή τις εἴη παντάπασιν ἀναίσθητος, ἢ λίαν ἀγνωμόνως ἔχοι. Ὑποσυνάψομεν, εἰ μὲν ἐκ τῆς πρώτης τῶν ἀγαθῶν μερίδος, λέγοντες ὅτι μεγάλα, ὅτι πλεῖστα πεποίηκεν, ὅτι ἀρετῇ ἰδίᾳ καὶ ὅτι οὐδείς, ἢ πάνυ ὀλίγοι τοσαῦτα καὶ τηλικαῦτα ἐργάσαιντο. Εὐπορήσομεν δὲ καὶ ἐκ τῶν ἐναντίων ἐγκωμιάζειν. δεικνῦντες τὰ ἐναντία, οἷς εἴργασται, αἰσχρά, ἀσύμφορα, ἐπίψογα, καὶ τὰ ὅμοια. ἐκ δὲ τοῦ δευτέρου μέρους τὰς ἀποδείξεις τῶν ἐγκωμίων θηρώμενοι, ἐροῦμεν, ὅτι χαρίεντα, ὅτι εὐγενοῦς ψυχῆς εἰσιν ἔλεγχος, καὶ ἡδονῇ μὲν ἀποκρύπτουσι τὰς σειρῆνας καὶ χάριτας. ἐπανθεῖ δ' ἐπὶ πᾶσι τὸ τοῦ ἤθους σπουδαῖον, οἷς καὶ ἐπιεικῶς καὶ μετ' ἀρετῆς κέχρηται. ἐκ δὲ τοῦ τρίτου, ὅτι ἀρετῆς ἆθλον ἔχειν, ἢ δῶρον τύχης, καὶ ὅτι φεύγοντα ὑπερίσχυσεν ἡ πρόνοια, καὶ ὅτι καλῶς διῴκησε, δικαίως ηὔξησε, μᾶλλον ἐτίμησεν, ἢ παρ' αὐτῶν ἐτιμήθη. Συνεστάλθω τοίνυν ὡς οἷόν τε τὸ ἐν ἐπιστολαῖς ἐγκώμιον. οὐδ' ἀπὸ πάντων ἅμα εἰλήφθω τῶν εἰρημένων, ὅτι μὴ κατ' ἀπαρίθμησιν, ἀλλ' ἀπὸ τῶν περιφανεστέρων, ὧν εὐπορεῖ ὁ πρὸς ὃν γράφομεν. καὶ οἷς αὐτὸν μάλιστα χαίρειν οἰόμεθα. ἕκαστος γὰρ οἷς ἥδεται φασί, τούτοις καὶ τιμώμενος γάννυται. Μιμήσασθαι δὲ ἔξεστιν ἐπὶ τοῦ παρόντος τῶν Ἰουλιανοῦ τὴν λγ'. πρὸς Ἰάμβλιχον. τὴν ιδ'. πρὸς Λιβάνιον. τὴν η'. πρὸς Γεώργιον. Συνεσίου τὴν γ'. τῶν πρὸς Ἑρκουλιανόν.

καὶ

ϗ ϛ'. ϗ λα'. ϗ τῶν ἄλλων συχνάς. Συμπερανεῖς δὲ ἐγκωμιαστικοῦ χαρακτῆρος ἐπιστολὴν δεξιῶς, ἤτοι μείζονα ἀγαθὰ εὐξάμενος, ἢ διάρκειαν τῶν προσόντων, ἢ ἀναῤῥήσει τῶν μελλόντων, ἢ ἐρωτήσει διαπορητικῇ περί τινων, μάλιστα παραδόξου διστάζων, ἢ γνώμῃ ϗ παροιμίᾳ τινὶ προσφυῶς ἐπαγομένῃ τῷ λόγῳ, ϗ τοῖς τοιούτοις.

## Ὑπόδειγμα.

Οἱ μὲν πολλοί σου τὸ γένος, ϗ πλοῦτον θαυμάζουσι, ϗ τὴν ἐπὶ πᾶσιν ὥσπερ ἐν φθόγγοις εὐαρμοστίαν τοῦ σώματος. οἱ δὲ ὑπὲρ τοὺς πολλοὺς ϗ τοῦ τρίβωνος, τὸ ϗ ἐπὶ τούτων εἰδέναι σωφρονεῖν. ϗ ἐν τοσαύτῃ τῶν ἔξω εὐροίᾳ, μὴ περιορᾶν τὸ τοῦ ἤθους φιλόσοφον. Ἐγὼ δ' οὖν ϗ ταῦτα θαυμάσας ἔχω, σφόδρα γὰρ ἂν εἴην ἄτοπος. ἐκεῖνο μέντοι τῶν σῶν ὑπεραγάμαι, τὸ ὑψηλὸν τῆς παιδείας, ϗ οὐχ ἥκιστα τὸ ὑπέροξυ τῆς φρονήσεως, ἅττα ϗ μόνα χαρακτηρίζειν πέφυκε τὴν τελεωτάτην ἐν ἀνθρώποις εὐγένειαν. ἄμφω δ' ἐν σοὶ οὕτως ἐς ἄκρον συνέδραμον, ὡς οὐδενὶ θάτερον. οἷα γὰρ ἐπὶ σοὶ φύσις, ϗ τέχνη φιλοτιμησάμεναι, τῆς ἐν ἑκατέρᾳ δυνάμεως τὴν ἐπίδειξιν πεποιήκασιν. ἀλλ' αἱ μὲν, ὅσον εἶχον φιλοτιμίας ἐκκενώσασαι, οὐδετέρα πρὸς ἑτέρας παρευδοκίμηται. σὲ δὲ ἔλαθον νικητὴν ἑαυτῶν ἀποδείξασαι. τὴν μὲν γὰρ ὑπερπαίοις τῷ τάχει τῆς φύσεως. τὴν δ' αὖ φύσιν, διὰ τὴν παίδευσιν. δὸς εἰπεῖν ϗ ἀμφοῖν ἑκατέραν.

## Ἄλλο.

Κωφός φασιν ἀνὴρ, ὃς Ἡρακλεῖ στόμα μὴ παραβάλλοι. ἐγὼ δὲ τὸν μὴ πεῖραν τῶν σῶν ἐγκωμίων λαβόντα, οὐ μᾶλλον κωφὸν, ἢ βάσκανον εἴποιμι.

μι. οὕτω γὰρ αἱ σαὶ πᾶσιν ὡς εἰπεῖν ἀρεταὶ πανταχῆ διατεθρύλληνται, ὡς καὶ αὐτὰ δὴ τὰ ἄψυχα ζωπυρήσαιμεν ἄν, ταῦτα πρὸς ἐγκώμιον ποιηταῖς εὐφημημένα. τί γὰρ τῶν σῶν οὐκ ἐπαινετόν; ἢ μᾶλλον εἰπεῖν, τί τῶν ἐπαινουμένων οὐκ ἐν τοῖς σοῖς; τὸ ηφόλιον, τὸ κόσμιον, τὸ τοῦ ἤθους φιλάνθρωπον, τὸ ὑπὲρ τοῦ δικαίου ἐλεύθερον, ἀγῶνας καὶ λόγους, τοὺς ὑπὲρ τῆς ἀληθείας. παρίημι, ὧν ἕκαστον ἐξήρκει καὶ μόνον τοῖς ἔχουσι πρὸς ἐγκωμίων ὑπόθεσιν. Ἐμοὶ δὲ τὸ ἐν τοσαύτῃ τῶν ἑλληνικῶν καταπλώσει, καὶ τοῖς τῶν κρατούντων τυραννίδος ὠμότητι, μὴ ὅτι ζῆν ὑπὲρ τοὺς πολλοὺς ἀγαπήσαντα, ἀλλὰ καὶ δουλικὸν περιφρονῆσαι ζυγόν, καὶ ἐν τοσούτοις δεινοῖς εὔελπιν γεγονότα, ἐς τὰ τῆς φιλοσοφίας ἀνάκτορα ἀπιδεῖν, τῆς οἵας οὐκ ὑπερβολῆς εὐγενοῦς φύσεως τεκμήριον κρίνεται. τὸ δὲ καὶ τοσαῦτα καταθαῤῥῆσαι πελάγη, τοσούτους τε καὶ τηλικούτους κινδύνους, καὶ πόνους ὑπενεγκεῖν, ἐφ' ᾧ τῆς ἀρετῆς ἐπίβολος γένοιο, οὐχ ὅπως εὐγενείας ἐστὶν ἔλεγχος, ἀλλὰ δὴ καὶ προαιρέσεως καλλίστης τε καὶ γενναιοτάτης. τοῦτο τοῖς γε νοῦν ἔχουσιν ὑψηλόν· τοῦτο τοῖς εὖ φρονοῦσι τὸ τιμαλφέστατον. ἐκεῖνο δέ, ὅτι καὶ εἰς τέλος ἧκες τοῦ κυνηγεσίου, καὶ διὰ πάσης ὡς εἰπεῖν ἐλθὼν ἐλευθέρου παιδείας, καὶ εἰς αὐτὴν ἀναδραμὼν τῶν ἀρετῶν τὴν ἀκρόπολιν, τῷ καλλίστῳ τε καὶ καθαρωτάτῳ τῆς ψυχῆς, τῇ ἀκηράτῳ αἴγλῃ διατελεῖς ἐλλαμπόμενος, οὐκ ἔτι ἀνθρώπινον ἔγωγε θείην ἄν, ἀλλ' ὧν οἱ πάλαι …σούς, καὶ θεῶν ἀπεκάλουν παῖδας. καὶ εὔθεσοι ὥσπερ τοῖς λόγοις τὴν πάλαι τῆς πατρίδος ἀνεκαλέσω εὔκλειαν, οὕτω διὰ τῶν αὐτῶν ἐξεγένετο, καὶ τὴν κοινὴν εὐδαιμονίαν περιποιήσασθαι.

# Ἄλλο.

Εὖγε ἡ ποίησις πτερὰ περιῆψε τοῖς λόγοις· ὀξεῖς γάρ εἰσι θηρευταὶ τῶν καλῶν, καὶ φοιτῶσιν ἑκασταχόσε οἵπερ ἂν τοὺς καλοὺς αἴσθωνται, κἀκείνοις τελοῦσιν, ὅσα καὶ τὰς ὥρας οἱ μῦθοι φασὶ τῷ ἡλίῳ· καὶ δὴ ἀφικέσθαι καὶ παρὰ σὲ ἐπείγονται. ἤδη γάρ σε παρὰ τῆς φήμης ἐπύθοντο, ἱερὸν εὐτρεπίζεσθαι τῶν ἀρετῶν ἐνδιαίτημα. ὅσαι τε διανοητικαὶ, καὶ τῆς περὶ τὰ ἤθη φιλοσοφίας τυγχάνουσιν. ὥσπερ γὰρ ἐν λειμῶνι πολυανθεῖ τῇ εὐγενεῖ σου ψυχῇ, αἱ μὲν ἀνθεῖν ἄρτι πιστεύονται· αἱ δὲ πέρυσι τῶν καλύκων προκύψασαι. ἄλλαι δὲ καὶ καρποὺς ἤδη προΐενται. εἰσὶν αἳ καὶ πεπείρους φέρουσαι, εἰς σφῶν μετάληψιν τῷ κάλλει διανιστᾶσι τοὺς ἐραστὰς τῶν καλῶν. ταῦτα δαιμονίας εἰσὶ φύσεως τὰ γνωρίσματα. ταῦτα τῆς ἀτρύτου φιλοπονίας τὰ ἔκγονα· μικρὰ δεῖσθαι προσέχειν τῇ τύχῃ· (ἡ περὶ σὲ τοσοῦτον ἐσπούδασε) διανοίας ἐστὶν ὑψηλῆς τὸ τεκμήριον. τὴν λοιπὴν τῶν περὶ σὲ χαρίτων ἀγλαΐαν, τό γε νῦν εἶναι παρίημι. τοῦτο μὲν, ἵνα μὴ τοῦ κατ' ἐπιστολὴν μέτρου ἐκπέσοιμι· τὸ δ', ὅτι καὶ πρόδηλος. ᾧ γὰρ πατρὶς μὲν, Ἀθῆναι, ἡ περιφανεστάτη τῶν ἑλληνίδων, γονεῖς δὲ, οἱ τὰ πρῶτα ἐν ταύτῃ φέροντες, καὶ νοὸς μὲν ὀξύτης ὑπὲρ τοὺς πολλοὺς, φιλοπονία δὲ σχεδὸν ὑπὲρ ἅπαντας, πῶς οὐκ εἰκὸς εἰς αὐτὸν ἀναδραμεῖν τῶν ἀρετῶν κολοφῶνα; ὡς οἷόν τ' εὐμαρέστατα; καὶ παρευδοκιμῆσαι οὐ τῷ τυχόντι μέτρῳ τοὺς καθ' ἡμᾶς, ἀλλὰ καὶ τοὺς πρὸ ἡμῶν ἐν λόγοις τρυφήσαντας; ἔστι γὰρ ἔστι, διὰ μὲν τὸ γένος, ῥᾳδίως νικᾶν, ὅσοι μὴ Ἕλληνες· παρὰ δὲ τὴν πατρίδα, τοὺς Ἕλληνας.

λαμ-

ΙΩΑΝΝΙΝΑ 2006

λαμπρότητι δὲ τῶν προγόνων, καὶ τὰς ἐκ τῆς Ἀττικῆς ὑπερπαίειν λογάδας. οἴονδήσε καὶ Φήμη μαρτυρεῖσθαι, καὶ λόγοι πιστεύουσιν, ἣν οὐδὲ ψεύδεσθαι ἔθος οὖσαν, ὥσπερ οὐδὲ τοὺς λόγους ἀπατᾶσθαι θέμις ἐστίν. οἳ καὶ νεὼς ἐπιβάντες, ἤδη καὶ κώπης ἁψάμενοι, καὶ ὅλοις ἱστίοις πρὸς σὲ θέουσιν. οὓς εὐθύμως δέξαιο. κἂν δοκῇ ἄνθεσι τοῖς παρὰ σαυτῷ ἀναθήσαις, ἐπανίεται παρὰ τὸν πέμψαντα κέλευσον. εἰδ' ἀποδοκιμάσαις, (ὅπερ ἀπεύχεσθαι δίκαιον) οὐδὲν αὐτοῖς ἀπειλήσομεν ἕτερον, ἔτι μὴ τὰς πτέρυγας περιέλωμεν, ὡς μήσοι δι' ὄχλου γίγνοιντο τοῦ λοιποῦ ἀφικνούμενοι.

## Ἄλλο.

Οὐ μὰ τοὺς λόγους αὐτοὺς, καὶ τῆς τῶν ἐν ἀξιώμασιν εὐνοίας θεραπευτὴς ἐγώ. οὐδ' ἵνα σου τὴν δύναμιν καρπώσωμαι γράφω. ἐμπόρου γὰρ τοῦτο. ἀλλ' ἵνα μὴ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ διαφύγῃ. καὶ τὸ πλέον, ὡς σου τὰς ἀρετὰς ἐξαγγείλας, γενοίμην τοῖς ἀκούουσιν ὄφελος. τίνα δ' ἂν καὶ ἄλλον οἱ λόγοι δι' εὐφήμου μνήμης δικαίως ἀγάγοιεν, ὅτι μὴ σε; τὸν σώφρονα, τὸν καρτέρικόν, τὸν φιλάνθρωπον, τὸν μέτρα φρονήσεως ἀνθρωπίνης νικήσαντα. ὁ μόνος, ἢ μετ' ὀλίγων, ἀρχῶν φιλόσοφος. ὃς βραχὺ δέῃ παιδείας, διὰ τὴν φύσιν ἧττον τῆς φύσεως, διὰ τὸ ἄκρον τῆς παιδεύσεως. εὐρήκασιν μὲν τοῖς παρὰ τῆς τύχης ὑπὲρ τοὺς πολλοὺς, κέχρηται δ' οὐχ ὡς οἱ πολλοί. τοσοῦτον μόνον ἀπολαύων τοῦ πλούτου, ὅσον ἀφοσιώσασθαι τῷ μετὰ σώματος βίῳ· τῷ λοιπῷ δὲ, φίλοις τε κἀγαθοῖς ἀνδράσι γινόμενος χρήσιμος. ἄλλοι μὲν ἐπὶ πατρίδος, καὶ γονέων μέγα φρονοῦσι λαμπρότητι, σὺ δὲ



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΛΑΙΟΓΡΑΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ ... Ε. Α. της Κ. τ. λ. ΙΩΑΝΝΙΝΑ 2006

δὲ τούτοις καὶ ὑπὲρ τοὺς πολλοὺς ἐναβρύνεσθαι δυναμένῳ, οὐδὲν πρὸ τῆς ἀρετῆς τίθεται. εὐδαίμων ἡ πόλις, ἧς ἄρχειν κεκλήρωσαι. εὐδαιμόνων πατέρων παῖδες οἱ ὑπὸ σέ. καὶ εἴτινές εἰσι δαιμόνιοι φύσεις ἐπιστατοῦσαι τῶν πόλεων, (ὥσπερ καὶ εἶναι πιστεύεται) οἶμαι σοῦ τὸν ταύτης ἔφορον λίαν ἡσθῆναι τῇ παρουσίᾳ. καίτοι χάριν εἰδέναι τῆς ἀδόλου τε καὶ ἐπιμελοῦς διοικήσεως, ἧς ὅσον ἐστὶν ὑψηλὸν τὸ ἀξίωμα, τοσαύτη καὶ ἡ παρ' αὐτοῦ ὠφέλεια καὶ ὁ ἔπαινος. οἷα δή που καὶ ποιητῶν, καὶ ῥητόρων τὰ στόματα πίμπλησιν. Ἀλλά σοι ἐπὶ μήκιστον ἡ τῶν ἑλληνικῶν ἀρχὴ γένοιτο, προάγοντι, καὶ συμπροαγομένῳ ἀεὶ τελεώτερον.

## Ἀπάντησις πρὸς τὸν Ἐγκωμιαστικόν.

Εἰ δὲ καὶ πρὸς ἡμᾶς ὁ ἔπαινος, τὴν ἐκ τῶν γεγραμμένων ἔχοντες ὕλην, ἀπαντήσομεν. καὶ εἰ μὲν μεῖζον εἴη τὸ ἐκείνου πρὸς ἡμᾶς ἀξιωματικόν, ἢ καὶ ὅμοιον, ἐροῦμεν, νουθεσίαν ἄντικρυς γράφειν τοὺς φίλους ἐν ἐπαίνου προσχήματι. οὐχ οἷοι ἐσμὲν, ἀλλ' οἵους ἤδη εἶναι διατυποῦντας τοῖς γράμμασιν. ἢ σκῶψαι βουλόμενον, εὐτραπελείας χάριν ταῦτα κομψεύεσθαι· ἢ ἔρωτι χαριζόμενον, ἐκπίπτειν εἰς τὸ ὑπὲρ ἄγαν τῶν περὶ ἡμᾶς ἐπαίνων· ἢ ἐπὶ λόγων δυνάμει φιλοτιμεῖσθαι (ὃν καὶ ἐπ' αὐτῷ τούτῳ θαυμάσειεν) ἢ κρίνειν ἀφ' ἑαυτοῦ τὰ τῶν ἄλλων, καὶ δι' ἡμῶν τὰ ἴδια ἐξαγγέλλειν· ἢ ἄλλου του ἕνεκα. τὰ δὲ ἡμέτερα ταπεινώσομεν ὑποκοριζόμενοι. Εἰ δ' ἀπό τινος τῶν καταδεεστέρων πρὸς ἡμᾶς ὁ ἔπαινος γένοιτο, χάριτας μὲν ὁμολογήσομεν ἐκείνῳ τῆς πρὸς ἡμᾶς εὐνοίας, ἐροῦμεν δ' ὡς οὐδ' ὅλως τὰ ἡμέτερα τοιαῦτα, οἷα ἐκεῖνος κατέλεξε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

ξεν· ἀλλ' εἴτι καὶ τοιοῦτόν ἐστι. πάντως κἀκείνῳ κοινόν, τοιαῦτα γὰρ τὰ τῶν φίλων.

## Ὑπόδειγμα.

Εὐδαίμονα τὸν τῆς Θέτιδος, ὁ Φιλίππου ἀπεκάλει Ἀλέξανδρος, ὅτι Ὁμήρου ἐπαινέτου τετύχηκεν· ἑαυτὸν δ' ὡς ἀτυχῆ ἀπωδύρετο, τοιαύτης φωνῆς ἀμοιρήσαντα. καὶ ἦν τῷ Ἀλεξάνδρῳ ἡ τοῦ Ὁμήρου ἠχὼ (εἴγε παρῆν) αὐτάρκης πρὸς εὐδαιμονίαν· ὥσπερ ἀποῦσα, ἀφορήτου δυστυχίας ἐδόκει παραίτιος. Σὺ δὲ δύναται μὲν, ὅσα καὶ Ὅμηρος· διέγεις δὲ, εἴπερ ἐκεῖνος, χαριζόμενος ἔρωτι. ὃς τὸν χαμαὶ κείμενον ἐμὲ, τοσοῦτον ἦρας ἄνω τοῖς γράμμασι, καὶ ἀνεπτέρωσας, ὥστε μοι δοκῶ μηκέτι ἐπὶ γῆς βαίνειν. καὶ Μακεδόνος ἐκείνου μᾶλλον εὐδαίμονα ἔδειξας, σοῦ τυχόντα ἐπαινέτου. καὶ με τοιαῦτα φρονεῖν περὶ ἐμαυτοῦ πείθεις οἷς λέγεις, καὶ ἔπαισας οἷα καὶ βέλοις.

## Ἄλλο.

Οἱ πρὸς τὸ κάλλος ἔχοντες ἐρωτικῶς, καὶ ταῖς τῶν καλῶν εἰκόσιν ἐκτόπως χαίρουσι, καὶ μικρὰ ἡ πρόφασις, ἱκανὴ φαντασίαν ἐμποιῆσαι τῆς ἐκείνων παρουσίας. οἷον δὴ καὶ αὐτὸς τὰ νῦν περὶ ἐμὲ πέπονθας, τῷ περὶ τὴν ἀρετὴν ἀγόμενος ἔρωτι. μικρὸν γάρ τι ἡμῖν ὁμιλήσας, καὶ ἐκ μικρῶν συμβόλων, ὧν ἐν ἐμοὶ τῆς ἀρετῆς ἔγνως, ἢ μᾶλλον εἰπεῖν, ἐγνωκέναι ὑπείληφας, τὸ πᾶν παρὰ σαυτοῦ προστιθεὶς, οὕτως ἐμοὶ ποικίλον ἐγκωμίων ἀνέπλεξας τὸν στέφανον, ὥσπερ οἰηθεὶς, ἔνθα ἂν μικρὸν ἀρετῆς εἴδωλον εἰκάζηται, καὶ αὐτὴν εἶναι

τὴν ἀρετήν. τὸ δ᾽ οὐχ᾽ οὕτως ἔχειν ἡγοῦμαι. οὐ γὰρ ἀεὶ ἕπεται τὸ εἶναι τῷ δοκεῖν. σὺ δ᾽ ἀλλ᾽ ἴσως ἔρωτι χαριζόμενος, τῷ πρὸς ἐμὲ, εἰς τὸ ὑπὲρ ἄγαν τῶν περὶ ἡμᾶς ἐπαίνων ἐμπέπλωκας. δειναὶ γὰρ αἱ εὔνοιαι δεκάσαι τὰς ψήφους. Ὅτου χάριν μεγίστη σοὶ παρ᾽ ἡμῶν ὀφείλεται χάρις. καὶ τὸ πρῶτον ἐστὶ συγγνωστέον, διὰ τὸ δεύτερον. εἰ γὰρ καὶ σοφοῖς οὐκ ἐφεῖται ταῖς περὶ σοφίας ψήφοις ἐξαμαρτάνειν, ἐρῶσι μέντοι καὶ μάλα.

## Ἄλλο.

Ἐγώ σε καὶ πρότερον τῆς περὶ λόγους δεινότητος ἐθαύμαζον, νῦν δὲ καὶ τῆς γνώμης ἐπήνεσα. ἐξὸν γὰρ ἐν πολλοῖς καὶ ἄλλοις ἐπιδείξασθαι, ὅσον ἐστὶ σοὶ τὸ ἐν λόγοις φιλότιμον, τἀμὰ ἀντὶ πάντων προείλου, οἷς καὶ οὐ τοσοῦτον ἥσας, ὅσον περ ὤνησας. οὐ γὰρ ὡς ἐπαινέσων ἐμὲ τοσοῦτον ἦρας τοῖς λόγοις, καὶ ἀπεσέμνυνας, ἀλλ᾽ ὡς νουθετήσων μᾶλλον ἐν ἐπαίνου προσχήματι, ὅτι ἐγὼ σου συνίημι. τὸ γὰρ ὁμολογουμένως τοῖς πᾶσιν ἀρετῆς ἀμοιροῦντι κόσμον ἀρετῆς περιάπτειν τοσοῦτον, ὡς ἐκ τοιούτων προγόνων, καὶ πατρίδος προελθόντι, τοῦ τὸν τοιαύτης εὐγενείας τετυχηκότα παντοίαις ἀρεταῖς κατηγλαΐσθαι ἀξιοῦντος ἐστίν. οὐδὲ γὰρ ἄλλου τι ὑποτοπάσαι ἐστὶν ἀληθέστερον, οἷς ἐν ἐμοὶ λειμῶνας ἀρετῶν, καὶ ἄνθη, καὶ καρποὺς ἀναπλάττεις. καὶ φιλόπονον, τὸν οὐδ᾽ ὁπωσοῦν πειραθέντα φιλοπονίας καλεῖς. καὶ ἐπὶ τὰ τῆς φιλοσοφίας ἀνάγεις ἀνακτόρια, τὸν μόλις ἄκρῳ δακτύλῳ παιδείας γευσάμενον. οὐ γὰρ εἴποις ἐκ τῶν παρεληλυθότων προεικάζειν τὰ μέλλοντα. τοῦτο γὰρ καὶ ἄλλως ἀβέβαιον ὄν, διὰ τὸ εὐμετάβλητον τῶν ἀνθρωπίνων, καὶ μαντευομένου μᾶλλον ἢ ἐγκωμιάζοντος.

[illegible]ῳ. Ἀλλ' αὐτὸς διάτοι τοῦτο, καὶ μείζονας ὁμολογῶ σοι τὰς χάριτας. καὶ εἴηγ' ὦ Μοῦσαι, καὶ χάριτες σοὶ μὲν τούτοις τὸ ἐν λόγοις παρὰ πᾶσιν ἀποφέρειν ἀεὶ καλλιστεῖον· ἐμοῦ δ' εἰς ζῆλον τὸν αὐτὸν ἐγείρειν.

## Ἄλλο.

Εἰ μὲν ὁ μέλλει συνοίσειν, τἀμὰ τοῖς πολλοῖς διηγούμενος, ἐκεῖνο ὑπείληφας, ὅτι με δι' εὐφήμου ἀγαθῆς μνήμης προθυμότερον περὶ τὴν ἐπιμέλειαν τῶν πολλῶν ἀπεργάζῃ τοῖς λόγοις, ἤδη καὶ πρὸ τῶν γραμμάτων πέρας σοι ἔχει τὰ τοῦ σκοποῦ. οὔποτε γὰρ τόγ' ἐπ' ἐμοὶ τῆς ἐνούσης ἀπελιπόμην ἐπιμελείας, οὐδ' ὅσον εἰς ἐμὲ ἥκει ἀπολειφθήσομαι. Εἰ δὲ τοῖς κατ' ἐμοῦ ἐγκωμίοις τοὺς ἄλλους εἰς ζῆλον διαναστῆσαι δοκεῖς, ὅρα μή σοι εἰς τοὐναντίον περιστείη τὸ φιλοπόνημα. καὶ λάθοις ἀμβλύνας μᾶλλον τοὺς ἀρετῆς ἐχομένους, ἢ τοῖς ῥαθυμοτέροις συνενεγκών. οἱ γὰρ τοῖς τῶν ἄλλων ἐπαίνοις ἐντυγχάνοντες, οὐ σφᾶς ἑαυτοὺς οἵους ὁ ἔπαινος διαγράφει παρασχεῖν ἀξιοῦσιν, ἀλλ' οἷος ἦν ὁ ἐπαινούμενος ἐξομοιώσασθαι σπεύδουσιν. εἰ μὴ [illegible] φαίης, ὡς ἐμὲ ἐπαινῶν, προθυμοτέρους ἀπεργάζῃ τοὺς ὑπηκόους εἰς ὑπουργίαν τῶν προσταττομένων. πᾶσι μὲν γὰρ τοῖς ἄρχουσιν ὀφείλεται δήπου πειθεία. τοῖς γε δέ γε σπουδαίοις, καὶ μᾶλλον τῶν ἄλλων. Γράφοις δ' οὖν εἴτε τοῖς ἄλλοις παρέχων παράδειγμα, κἀμὲ παροτρύνων, εἴτ' ἂν σοῦ καὶ τῶν λόγων θεατρίζων τὸ κάλλος, ὅπως ποτ' ἂν ἔχοι [illegible] παρὰ σοῦ, ἡδονῆς ἡμῖν οὐ τῆς τυχούσης, καὶ χα[illegible] μνηστεύεται πρόφασιν.

Περὶ

Ε.Υ.Δ της Β.Κ. ΙΩΑΝΝΙΝΑ 2006